## HERODOTUS, HISTORIES, 1.23–24

23. [1] Περίανδρος δὲ ἦν
Κυψέλου παῖς οὗτος
ὁ τῷ Θρασυβούλῳ
τὸ χρηστήριον μηνύσας·
ἐτυράννευε δὲ
ὁ Περίανδρος Κορίνθου·
τῷ δὴ
λέγουσι Κορίνθιοι
(ὁμολογέουσι δέ σφι Λέσβιοι)
ἐν τῷ βίῳ
θῶμα μέγιστον παραστῆναι,
Ἀρίονα τὸν Μηθυμναῖον
ἐπὶ δελφῖνος ἐξενειχθέντα
ἐπὶ Ταίναρον,
ἐόντα κιθαρῳδὸν
τῶν τότε ἐόντων
οὐδενὸς δεύτερον,
καὶ διθύραμβον
πρῶτον ἀνθρώπων
τῶν ἡμεῖς ἴδμεν
ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ
διδάξαντα ἐν Κορίνθῳ.

24. [1] τοῦτον τὸν Ἀρίονα λέγουσι,
τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα
παρὰ Περιάνδρῳ
ἐπιθυμῆσαι πλῶσαι
ἐς Ἰταλίην τε καὶ Σικελίην,
ἐργασάμενον δὲ
χρήματα μεγάλα θελῆσαι
ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι.

[2] ὁρμᾶσθαι μέν νυν
ἐκ Τάραντος,
πιστεύοντα δὲ οὐδαμοῖσι
μᾶλλον ἢ Κορινθίοισι
μισθώσασθαι πλοῖον
ἀνδρῶν Κορινθίων.

τοὺς δὲ ἐν τῷ πελάγεϊ
ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας
ἔχειν τὰ χρήματα.

τὸν δὲ συνέντα
τοῦτο λίσσεσθαι,
χρήματα μὲν σφι προϊέντα,
ψυχὴν δὲ παραιτεόμενον.

[3] οὔκων δὴ πείθειν αὐτὸν τούτοισι,
ἀλλὰ κελεύειν
τοὺς πορθμέας
ἢ αὐτὸν διαχρᾶσθαί μιν,
ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ,
ἢ ἐκπηδᾶν
ἐς τὴν θάλασσαν τὴν ταχίστην·

[4] ἀπειληθέντα δὴ τὸν Ἀρίονα
ἐς ἀπορίην παραιτήσασθαι,
ἐπειδή σφι οὕτω δοκέοι,
περιιδεῖν αὐτὸν
ἐν τῇ σκευῇ πάσῃ
στάντα ἐν τοῖσι ἑδωλίοισι
ἀεῖσαι·
ἀείσας δὲ ὑπεδέκετο
ἑωυτὸν κατεργάσασθαι.

[5] καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν
εἰ μέλλοιεν ἀκούσεσθαι
τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ,
ἀναχωρῆσαι
ἐκ τῆς πρύμνης
ἐς μέσην νέα.

τὸν δὲ ἐνδύντα
τε πᾶσαν τὴν σκευὴν
καὶ λαβόντα τὴν κιθάρην,
στάντα
ἐν τοῖσι ἑδωλίοισι
διεξελθεῖν νόμον τὸν ὄρθιον,
τελευτῶντος δὲ τοῦ νόμου
ῥῖψαί μιν
ἐς τὴν θάλασσαν ἑωυτὸν
ὡς εἶχε
σὺν τῇ σκευῇ πάσῃ.

[6] καὶ τοὺς μὲν ἀποπλέειν
ἐς Κόρινθον,
τὸν δὲ δελφῖνα λέγουσι
ὑπολαβόντα ἐξενεῖκαι
ἐπὶ Ταίναρον.

ἀποβάντα δέ αὐτὸν χωρέειν
ἐς Κόρινθον
σὺν τῇ σκευῇ,
καὶ ἀπικόμενον

ἀπηγέεσθαι πᾶν τὸ γεγονός.

[7] Περίανδρον δὲ
ὑπὸ ἀπιστίης
Ἀρίονα μὲν
ἐν φυλακῇ
ἔχειν
οὐδαμῇ μετιέντα,
ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων.

ὡς δὲ ἄρα
παρεῖναι αὐτούς,
κληθέντας ἱστορέεσθαι
εἴ τι λέγοιεν
περὶ Ἀρίονος.

φαμένων δὲ ἐκείνων
ὡς εἴη τε σῶς
περὶ Ἰταλίην
καί μιν εὖ πρήσσοντα
λίποιεν
ἐν Τάραντι,
ἐπιφανῆναί σφι
τὸν Ἀρίονα
ὥσπερ ἔχων ἐξεπήδησε·
καὶ τοὺς ἐκπλαγέντας
οὐκ ἔχειν ἔτι
ἐλεγχομένους ἀρνέεσθαι.

[8] ταῦτα μέν νυν
Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι,
καὶ Ἀρίονος ἐστὶ ἀνάθημα
χάλκεον οὐ μέγα
ἐπὶ Ταινάρῳ,
ἐπὶ δελφῖνος
ἐπὲων ἄνθρωπος.